οὐδὲν φευκτὸν] *nihil quod sit fugiendum, deprecandum, horrendum.* Est igitur positum pro φευκτέον, quod habet Lucian. Dial. Mort. 27, 14. Ἡδὺ γὰρ ἦν τὸ φῶς, καὶ τὸ τεθνάναι δεινὸν καὶ φευκτέον. Similiter Graeci utuntur nominibus φεύξιμον vel φύξιμον et ἀποτρόπαιον notione passiva.

οὐδὲν γὰρ δεινὸν κ. τ. λ.] Versus iam supra laudatus ap. 16. extr.

κατὰ προηγούμενον λόγον — κατ' ἐπακολούθησιν] „Poterat haec brevius dicere κατὰ τὴν εἱμαρμένην vel μοῖραν; nunc *fati* partibus nominandis varietatem orationis et ornatum quaesivit. Divisio sumta e philosophorum, maxime Platonicorum, scholis. Fatum ipsum est Lex, et προηγούμενος λόγος, *praecedens enuntiatio;* τὰ κατ' ἐπακολούθησιν, *quae fiunt per consequentiam.*" Wyttenb. Unde τὰ προηγούμενα dicuntur τὰ ἀναγκαῖα, praecipuae ac necessariae rerum causae; τὰ ἐπακολουθοῦντα autem sunt τὰ ἑπόμενα, quae e certis illis destinatisque legibus consequuntur.

καὶ ὅτι οἱ πλεῖστοι κ. τ. λ.] Iungenda sunt haec cum praeced. v. νομιστέον, a quo vulgo maximo distinctionis signo male seiunguntur.

πρὸ] Pass. I. 5.

ἄλλων δυσχερῶν μειζόνων] In his positum est adiectivum (δυσχερῶν) loco substantivi, quod potueritne ita cum duob. adiect. coniungi vehementer dubito. Vid. Matth. § 446, 9. Quin μείζονα δυσχερῆ dictum pro δυσχερέστερα, etsi id neminem video interpretum offendisse, ne Graecum quidem puto, immo scribendum δυσχερειῶν. (Cfr. Orellii annot. ad ἀνιαρῶν cap. 26.) Quam emendationem etsi probat Ferd. meus Hauthalius, aliam tamen medelam aeque facilem invenisse sibi videtur. Adscriptam enim fuisse suspicatur voc. δυσχερῶν tamquam glossam voc. (medii) συμφορῶν, atque hoc ab illo postea esse exturbatum. Ego vero in scriptore nostro, haud ita male a glossatoribus tractato, si alia ratione locus quispiam probabiliter sanari potest, de glossa vix cogitandum puto.

ζουσι. Πρὸς πάντας δὴ τούτους τοὺς θανάτους ἐλαφρῶς ἐκτέον, εἰδότας, ὅτι τὴν μοῖραν οὐκ ἔστιν ἐκφυγεῖν· πεπαιδευμένων δ' ἐστὶν ἀνθρώπων προειληφέναι, διότι βραχὺν χρόνον προειλήφασιν ἡμᾶς οἱ δοκοῦντες ἄωροι τοῦ ζῆν ἐστερῆσθαι, (καὶ γὰρ ὁ μακρότατος βίος ὀλίγος ἐστὶ καὶ στιγμαῖος πρὸς τὸν ἄπειρον αἰῶνα,) καὶ ὅτι πολλοὶ τῶν ἐπὶ πλέον πενθησάντων μετ' οὐ πολὺ τοῖς ὑπ' αὐτῶν κατοδυρθεῖσιν ἐπηκολούθησαν, οὐδὲν ἐκ τοῦ πένθους ὄφελος περιποιησάμενοι, μάτην δὲ αὑτοὺς καταικισά-
F μενοι ταῖς κακουχίαις. Βραχυτάτου δὲ τοῦ τῆς ἐπιδημίας ὄντος ἐν τῷ βίῳ χρόνου, οὐκ ἐν ταῖς αὐχμηραῖς λύπαις οὐδ' ἐν τῷ κακοδαιμονεστάτῳ πένθει διαφθείρειν ἑαυτοὺς δεῖ, ταῖς ὀδύναις καὶ ταῖς τοῦ σώματος αἰκίαις παρατεινομένους, ἀλλὰ μεταβάλλειν ἐπὶ τὸ κρεῖσσον καὶ ἀνθρωπικότερον πειρωμένους, καὶ σπουδάζοντας ἐντυγχάνειν ἀνδράσι, μὴ τοῖς συλλυπουμένοις καὶ διεγείρουσι τὰ πένθη
118 διὰ κολακείαν, ἀλλὰ τοῖς ἀφαιρουμένοις τὰς λύπας διὰ

*εἰδότας*] Cur accusativus? Buttm. § 134. not. 4. Matth. § 447, 4. Thiersch. Gr. mai. § 280, 7. Gr. min. § 204, 7.

*διότι*] pro simplici *ὅτι* est positum. Exempla e scriptoribus Aristotelis aetate recentioribus vid. ap. Vig. p. 549.

*προειληφέναι — προειλήφασιν*] Idem verbum plane diversa significatione usurpatum: ac primum quidem ea, qua legitur cap. 4. in. (*προειληφώς*), deinde ea, quam habet cap. 12. extr. (*προλαμβάνει*).

*στιγμαῖος*] Conf. cap. 17. *στιγμή τις ἀόριστος.*

*πρὸς*] Conf. cap. 15. p. 110. A.

*ἐπὶ πλέον*] *plus*, interdum etiam *plus aequo*. Herod. I. 94. *ἐπὶ μᾶλλον ἔτι βιάζεσθαι*, *multo maiorem vim afferre.* Plat. Phaedr. p. 261. B. *ἐπὶ πλέον δὲ οὐκ ἀκήκοα*, *ulterius non audivi.* Phaedon. p. 93. B. *ἂν μὲν μᾶλλον ἁρμοσθῇ καὶ ἐπὶ πλέον*, ibique Heind. Gorg. p. 453. A. *ἐπὶ πλέον δύνασθαι ἢ* ibique Stallb. — Pass. ἐπὶ III. C. Vig. p. 628.

*οὐδὲν ἐκ τοῦ πένθους ὄφελος κ. τ. λ.*] Soph. an Eurip. Fragm. ap. Stob. T. 108. *Πάντων ἄριστον μὴ βιάζεσθαι θεοὺς Στέργειν δὲ μοῖραν· τῶν ἀμηχάνων δ' ἔρως Πολλοὺς ἔθηκε τοῦ παρόντος ἀμπλακεῖν.*

*κακουχίαις*] Vid. annot. ad *κακουχουμένους* cap. 26.

*ἐπιδημίας*] Opposita est *τῇ ἀποδημίᾳ*, quacum confertur *ὁ θάνατος* cap. 12. in.

*αὐχμηραῖς*] Phavor. *Αὐχμηρόν· σκληρὸν, στυγνὸν ἢ σκοτεινόν.*

*παρατεινομένους*] Pass. c.

*μεταβάλλειν*] Pass. 3. b.

*μὴ τοῖς συλλ.*] Cur non *οὐ*? Pass. *μὴ* A, 4. Thiersch. Gr. min. § 226, 3.

*τῆς γενναίας καὶ σεμνῆς παρηγορίας, ἐπακούοντας καὶ ἔχοντας ἐν νῷ τὸ Ὁμηρικὸν τοῦτο ἔπος, ὅπερ ὁ Ἕκτωρ πρὸς τὴν Ἀνδρομάχην, ἀντιπαρηγορῶν αὐτὴν, εἶπεν ὡδί·*

*Δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ!*
*οὐ γάρ τίς μ' ὑπὲρ αἶσαν ἀνὴρ Ἄϊδι προϊάψει·*
*μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,*
*οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν ταπρῶτα γένηται.*

*ταύτην δὲ τὴν μοῖραν ἐν ἄλλοις ὁ ποιητής φησί·*

*Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.*

*λβ'. Ταῦτα πρὸ διανοίας λαβόντες, τῆς ἀπράκτου* B *καὶ κενῆς ἀπαλλαγησόμεθα βαρυπενθίας, ὀλίγου δὴ παντάπασι τοῦ μεταξὺ χρόνου τῆς ζωῆς ὄντος. Φειστέον οὖν, ὅπως εὔθυμόν τε καὶ ἀπαρενόχλητον τοῦτον ταῖς*

*ἔπος*] H. l. Homerica significatione usurpatum, veluti Odyss. I. 64. *Τέκνον ἐμὸν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;* Conferatur cap. 32. extr.

*δαιμονίη κ. τ. λ.*] Hom. Il. VI. 486. sqq.

*μή — τι*] Pass. *μήτις.*

*λίην*] De mensura τοῦ *ι* in voc. *λίην* v. Thiersch. Gr. mai. § 168, 4. et Passov. s. v. *λίαν.*

*ὑπὲρ αἶσαν*] I. q. *ὑπέρμορον* Od. I. 34. *praeter*, i. e. *contra fatum.*

*προϊάψει*] *Προϊάπτειν*, *proturbare*, *protrudere*, *propellere*, verbum propr. est apud Hom. de eo, quod Latini dicunt *demittere Orco.* Cf. Il. I. 3. Hic igitur *πρὸ* non tempus, sed locum significat, ut nostrum *fort.* Pass. *πρὸ* III 1.

*πεφυγμένον ἔμμεναι*] I. q. *πεφευγέναι.* Hom. Od. I. 18., ubi cum genitivo iungitur (conf. Thiersch. Gr. mai. § 255, 4. Gr. min. § 182, 4.) *οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων.* Vid. Pass. Buttmann. Matth. s. v. *φεύγω.* (Minus recte laudat hunc. vs. Matthiaeus ad § 344.)

*οὐδὲ μὲν*] Pass. *οὐδὲ* 2.

*ταπρῶτα*] Pass. s. v. *πρῶτος* 4. d. Thiersch. Gr. mai. § 298, 1. c. Gr. min. § 224, 1.

*ταύτην τὴν μοῖραν — φησὶ*] I. e. *περὶ ταύτης τῆς μοίρας λέγει.*

*ἐν ἄλλοις*] Il. XX. 128. XXIV. 210.

*γεινομένῳ*] Pass. s. v. *γείνομαι.*

XXXII. *ταῦτα πρὸ διανοίας λαβόντες*] *Πρὸ διανοίας λαμβάνειν τι* rarius est dicendi genus pro *προςέχειν τὴν διάνοιαν τινὶ* (Num. c. 14. p. 69. D.), *διανοεῖσθαι, ἐνθυμεῖσθαί τι.*

*τοῦ μεταξὺ χρόνου*] Buttm. § 125, 6. Matth. § 272.

*φειστέον*] *τίνος; Parcendum:* cui? Matth. § 348. Thiersch. Gr. min. § 182, 6.

*ὅπως*] Pass. B. 1.

*ἀπαρενόχλητον*] Dicitur *ἐνοχλεῖν τινά τινι.* Praepositio autem *παρὰ* quid significat? Vid. annot. ad *παραπῖπτον* cap. 13.

πενθικαῖς λύπαις διαγάγωμεν, τὰ τοῦ πένθους παράσημα μεθέμενοι, καὶ τῆς τοῦ σώματος ἐπιμελείας φροντίσαντες καὶ τῆς τῶν συμβιούντων ἡμῖν σωτηρίας. Καλὸν δὲ καὶ μεμνῆσθαι τῶν λόγων, οἷς κατὰ τὸ εἰκὸς ἐχρησάμεθά ποτε πρὸς συγγενεῖς ἢ φίλους ἐν ταῖς παραπλησίοις γενομένους συμφοραῖς, παραμυθούμενοι καὶ πεί-
C θοντες τὰ κοινὰ τοῦ βίου συμπτώματα κοινῶς φέρειν καὶ τὰ ἀνθρώπινα ἀνθρωπίνως, καὶ μὴ τοῖς μὲν ἄλλοις ἐπαρκεῖν πρὸς ἀλυπίαν δύνασθαι, ἑαυτοῖς δὲ μηδὲν ὄφελος εἶναι τὴν τούτων ὑπόμνησιν, μηδὲ τὸ ἀλγοῦν τῆς ψυχῆς ἀποθεραπεύειν παιωνείοις λόγου φαρμάκοις·

*ταῖς πενθικαῖς λύπαις*] Dativus iungendus est adiectivo *ἀπαρενόχλητον*.

*τὰ κοινὰ κοινῶς φέρειν καὶ τὰ ἀνθρώπινα ἀνθρωπίνως*] Vid. annot. ad *ἀνθρωπ. φέρειν* cap. 1. Praeterea laudavit Wyttenb. Menandri versum servatum a Stob. T. 124. p. 616. Gesn. (Fragm. ed. Meinek. p. 269.) *Ἀνθρωπίνως χρὴ τὰς τύχας φέρειν, ξένε Τὰ κοινὰ κοινῶς δεῖ φερειν συμπτώματα.* Addimus Cic. Tusc. II. 27. *morbos toleranter atque humane ferunt.*

*καὶ μὴ τοῖς μὲν ἄλλοις κ. τ. λ.*] Sophocles in Aiace Locro ap. Stob. T. 114. (113.) p. 585. ed. Gesn. *Τοὺς δ᾽ ἂν μεγίστους καὶ σοφωτάτους φρενὶ Τοιούσδ᾽ ἴδοις ἄν, οἷός ἐστι νῦν ὅδε Καλῶς κακῶς πράσσοντι συμπαραινέσαι· Ὅτ᾽ ἂν δὲ δαίμων ἀνδρὸς εὐτυχοῦς τοπρὶν Μάστιγ᾽ ἐρείσῃ τοῦ βίου παλίντροπον, Τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημενα*: qui versus latine redditi sunt a Cicerone Tusc. III. 29. Cfr. omnino Stob. Serm. Tit. 114. (113.). *Ὅτι ῥᾷον ἄλλον παραινεῖν, ἢ ἑαυτὸν* — et praeterea Eurip. ap. Stob. T. 23. (Fragm. inc. p. 433. Matth.) *Ἅπαντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοὶ, Αὐτοὶ δ᾽ ὅταν σφάλωμεν, οὐ γιγνώσκομεν.* Fragm. Tragici inc. aliquoties (v. annot. Wyttenb. ad p. 71. F.) a Plutarcho laudatum: *Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων.* Terent. Heaut. V. 1, 49. *Nonne id flagitium'st, te aliis consilium dare, Foris sapere, tibi non posse te auxiliarier.* Simili cohortatione usus est Servius Sulpitius ad Ciceronem Ep. IV. 3. *Denique noli te oblivisci Ciceronem esse, et eum, qui aliis consueris praecipere et dare consilium; neque imitare malos medicos, qui in alienis morbis profitentur se tenere medicinae scientiam, ipsi se curare non possunt: sed potius, quae aliis tute praecipere soles, ea tute tibi subiice et apud animum perpende.*

*ἑαυτοῖς*] Quum praecesserit *ἐχρησάμεθα*, pronomen reflexivum tertiae personae pro pron. refl. primae personae est positum, de qua personarum permutatione vid. Buttm. § 127. not. 5. Matth. § 489. II. Thiersch. Gr. min. § 209, 26. n. 2. — Cf. annot. ad *ἑαυτοῦ* c. 33. p. 119. D.

*τὸ ἀλγοῦν*] Vid. quae annot. ad *τὸ βαρῦνον* cap. 1.

*παιωνείοις λόγου φαρμάκοις*] Phavor. *Παιώνειον· σωτήριον.* Hesych. *Παιώνιον φάρμακον· καταπαῦον ὀδύνας.* Longino

ὡς πάντων μᾶλλον ἢ ἀλυπίας ἀναβολὴν δεῖ ποιεῖσθαι· καίτοι γε τὸν ἐν ὁτῳοῦν ἀμβολιεργὸν ἄταις φησὶ παλαίειν τὸ κυκλούμενον τοῦτο παρὰ πᾶσιν ἔπος· πολὺ δ' οἶμαι μᾶλλον τὸν ὑπερτιθέμενον τὰ τῆς ψυχῆς ἀχθεινὰ πάθη καὶ δυσάντητα πρὸς τὸν ἐπιόντα χρόνον.

λγ'. Ἀποβλέπειν δὲ καὶ πρὸς τοὺς εὐγενῶς καὶ μεγαλοφρόνως τοὺς ἐπὶ τοῖς υἱοῖς γενομένους θανάτους D πράως ὑποστάντας, Ἀναξαγόραν τὸν Κλαζομένιον, καὶ Δημοσθένην τὸν Ἀθηναῖον, καὶ Δίωνα τὸν Συῤῥακούσιον, καὶ τὸν βασιλέα Ἀντίγονον, καὶ συχνοὺς ἄλλους

π. ὕψ. 16, 2. Demosthenes dicitur *παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον*, *auditorum animis medelam orationis adhibens.*

ὡς] Ὡς notum est significare interdum *ἐπεὶ, καὶ γὰρ*, ac fere periodorum aut membrorum initio. Est hic usus apud Tragicos frequentissimus. Cf. Vig. p. 568. Passov. ὡς B. II. 4., qui ὡς ea notione nonnisi indicativo iungi dicit.

*πάντων μᾶλλον*] Vid. quae dix. ad *παντὸς μᾶλλον* c. 3.

*ἀναβολὴν — ποιεῖσθαι*] Ammonio inter *ἀναβάλλεσθαι* et *ὑπερτίθεσθαι* hoc discrimen esse statuenti, ut illud sit *in aliud tempus differre*, hoc *in suum quaeque tempus agendi differre*, assentitur Lennep. ad Phal. p. 365. b. H. quidem l. *ἀναβολὴν ποιεῖσθαι* et *ὑπερτίθεσθαι* ita inter se discrepant, ut illud *differendi*, hoc *prorogandi* habeat notionem.

*ἀμβολιεργὸν*] Hesiod. Ἔργ. κ. Ἡμ. 413. *Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄταισι παλαίει.* Horat. A. P. 172. *dilator.*

*κυκλούμενον*] Ita ex codd. aliquot sine ulla dubitatione rescripsi pro vulgata lectione *κυκώμενον*, quam omnes deinceps editores mire adhuc tuebantur. Illo autem verbo etiam Phrynichus est usus p. 328., *παρὰ τοῖς Στωϊκοῖς κυκλεῖται τοὔνομα (ἐνάρετος)*, ubi Lobeck. praeter haec ipsa Plutarchi verba laudat Aristoph. Vesp. 492. *ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.* Alias eadem notione dicitur *ὑμνούμενον* vel *θρυλλούμενον*, de quibus vid. annot. ad cap. 1. (*ὑμνοῦσι*) et cap. 27. (*θρυλλούμενον*).

*δυσάντητα*] Lucian. Tim. 5. *δυσάντητον καὶ ἀποτρόπαιον*, *infaustum malique ominis*, ad q. l. v. Hemsterh. T. I. p. 110.

XXXIII. *ἀποβλέπειν — πρὸς*] *Oculos a se avertere et ad alium convertere.* — Similem domesticorum exemplorum copiam in *Consolatione* collegisse se ait Cicero Tusc. III. 28, 70.

*τοὺς ἐπὶ τοῖς υἱοῖς γεν. θαν.*] Itemque paullo post: *τὴν περὶ τὸν υἱὸν τελευτήν.* Vid. annot. ad *ἡ περί σε διάθεσις* cap. 2.

*πράως*] Ante hoc vocab. Wytt. excidisse suspicatur *καί.* — De scribendo voc. *πράως* v. Pass. s. v

*Συῤῥακούσιον*] Scribendumne *Συρακούσιον*? (Cf. Pass. h. v.) Duplex litera ρ a librariis invecta videtur. Vid. Gregor. Cor. ed. Schaef. p. 295. maximeque D'Orvillium ad Charit. VII. 2. ed. Lips. p. 562.

τῶν τε παλαιῶν καὶ τῶν καθ' ἡμᾶς. Τούτων γὰρ Ἀνα-
ξαγόραν παρειλήφαμεν, ὥς φασι, φυσιολογοῦντα καὶ
διαλεγόμενον τοῖς γνωρίμοις, ἀκούσαντα παρά τινος τῶν
ἀναγγειλάντων αὐτῷ τὴν περὶ τὸν υἱὸν τελευτὴν, μικρὸν
ἐπισχόντα πρὸς τοὺς παρόντας εἰπεῖν, Ἤιδειν, ὅτι θνητὸν
ἐγέννησα υἱόν. Περικλέα δὲ, τὸν καὶ Ὀλύμπιον προσα-
γορευθέντα διὰ τὴν περὶ τὸν λόγον καὶ τὴν δύναμιν
E ὑπερβεβλημένην δύναμιν, πυθόμενον, ἀμφοτέρους αὐτοῦ
τοὺς υἱοὺς μετηλλαχέναι τὸν βίον, Πάραλόν τε καὶ
Ξάνθιππον — ὥς φησι Πρωταγόρας, εἰπὼν οὕτως· Τῶν
γὰρ υἱέων νεηνιῶν ὄντων καὶ καλῶν, ἐν ὀκτὼ δὲ ταῖς
πάσῃσιν ἡμέρῃσιν ἀποθανόντων, νηπενθέως ἀνέτλη· εὐδίης

τῶν καθ' ἡμᾶς] Οἱ καθ' ἡμᾶς sunt οἱ ἡλικιῶται. Passov. κατὰ II. 7.

Ἀναξαγόραν] Idem de Anaxagora proditum est a Cicerone Tusc. III. 14. laudato nobis ad cap. 21.

ὥς φασι] Praegresso παρειλήφαμεν, πλεοναστικῶς illatum. Simili ratione nonnumquam φησὶ vel φασὶ abundanter additur, ubi λέγει vel λέγουσι praecessit. Exempla collegit Heindorf. ad Plat. Charmid. p. 164. E. Cratyl. p. 408. A. 412. B. Cf. Pass. φημὶ 2. b. Simile est, quod continuo sequitur, ὥς φησι Πρωταγόρας, εἰπὼν οὕτως.

φυσιολογοῦντα] Phav. Φυσιολογεῖ· περὶ φύσεως διαλέγεται.

Ὀλύμπιον] Plutarch. Pericl. c. 39. p. 173. C. Καί μοι δοκεῖ τὴν μειρακιώδη καὶ σοβαρὰν ἐκείνην προσωνυμίαν ἓν τοῦτο ποιεῖν ἀνεπίφθονον καὶ πρέπουσαν, οὕτως εὐμενὲς ἦθος καὶ βίον ἐν ἐξουσίᾳ καθαρὸν καὶ ἀμίαντον, Ὀλύμπιον προσαγορεύεσθαι, καθάπερ τὸ τῶν θεῶν γένος ἀξιοῦμεν, αἴτιον μὲν ἀγαθῶν, ἀναίτιον δὲ κακῶν, πεφυκὸς ἄρχειν καὶ βασιλεύειν τῶν ὄντων.

μετηλλαχέναι τὸν βίον] Vid. annot. ad μεταλλαγῆς τοῦ βίου cap. 1. Lycurg. orat. ad Leocr. 12, 5. τὸν βίον μετήλλαξαν.

Πρωταγόρας] „In Protagora nemini nova aut suspecta accidet Ionica dialectus; siquidem eius civis et magister, item Abderita, Democritus ipse quoque Ionice scripsit." Wyttenb. De Protagorae doctrina v. Cic. de Nat. Deor. I. 1. 23, 63. de Orat. III. 32, 128.

ἐν ὀκτὼ δὲ ταῖς πάσῃσιν ἡμέρῃσιν] De voc. πᾶς apud numeral. v. Passov. 4. Thucyd. II. 101. μείνας τριάκοντα τὰς πάσας ἡμέρας, i. e. ganzer dreyssig Tage, vel in allem dreyssig Tage. Est enim ὁ πᾶς, universus, cunctus, insgesammt. Cf. Blume ad Lycurgi orat. in Leocr. 12, 3.

εὐδίης] Εὐδία μεταφορικῶς dicitur ab eodem Plutarcho de Discr. adul. et am. p. 66. C. Εὐδίᾳ γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρὺν ἀνασπῶντα. De anim. tranquill. p. 477. A. Οὔτε οἰκία πολυτελὴς, οὔτε χρυσίου πλῆθος, οὔτε ἀξίωμα γένους, οὔτε μέγεθος ἀρχῆς, οὐ λόγου χάρις,

γὰρ εἴχετο, ἐξ ἧς πολλὸν ὤνητο κατὰ πᾶσαν ἡμέρην
εἰς εὐποτμίην καὶ ἀνωδυνίην καὶ τὴν ἐν τοῖς πολλοῖσι
δόξαν· πᾶς γάρ τίς μιν ὁρῶν τὰ ἑαυτοῦ πένθεα ἐῤῥω-
μένως φέροντα, μεγαλόφρονά τε καὶ ἀνδρεῖον ἐδόκει
εἶναι καὶ ἑαυτοῦ κρείσσω, κάρτα εἰδὼς τὴν ἑαυτοῦ ἐν
τοιοῖςδε πράγμασι ἀμηχανίην — τοῦτον γὰρ εὐθὺς μετὰ
τὴν προςαγγελίαν ἀμφοτέρων τῶν υἱέων οὐδὲν ἧττον F
ἐστεφανωμένον κατὰ τὸ πάτριον ἔθος καὶ λευχειμονοῦντα

οὐ δεινότης εὐδίαν παρέχει βίῳ καὶ γαλήνην τοσαύτην κ. τ. λ. Cf. γαληνότερον cap. 37. extr. Epictet. II. 18. γαλήνην καὶ εὐδίαν. M. Antonin. VIII. 28. αἰθρίαν καὶ γαλήνην, ubi vid. Gatak.

εἴχετο] Matth. § 330. Buttm. § 132, 6, 3. Thiersch. Gr. min. § 181, 2. Bernh. p. 147. Thucyd. I. 140. τῆς γνώμης τῆς αὐτῆς ἔχομαι, *in eadem sententia persevero.* Plut. Rom. c. 28. p. 35. F. ἐχομένοις τῆς ἀσφαλείας. Theogn. v. 31. αἰεὶ τῶν ἀγαθῶν ἔχεο, *cole semper et amplectere viros bonos.* Plat. Phaedon. p. 100. D. τούτου ἐχόμενος ἡγοῦμαι οὐκ ἄν ποτε πεσεῖν, *hoc firmiter tenentem me puto non unquam esse lapsurum et erraturum.* Conf. Stallhaum. ad Plat. Protag. p. 319. E. et ad Gorg. p. 499. B.

ὤνητο] V. Pass. Buttm. Matth. s. v. ὀνίνημι. Phavor. Ὠνήμην, ἀπέλαυσα· ὠνήσω, ὠφελήσω.

εἰς] Pass. 3. 5.

πᾶς — τις] Vid. annot. ad c. 17. init.

ἐῤῥωμένως] Phavor. Ἐῤῥωμένως· ὑγιῶς, ἰσχυρῶς, εὐσθενῶς.

κάρτα] Ionice pro εὖ, μάλα.

ἀμηχανίην] Phavor. Ἀμηχανία· ἀπορία, λύπη.

τοῦτον γὰρ κ. τ. λ.] Continuatur oratio, Protagorae verbis interrupta. Est igitur γὰρ h. l. pro ἄρα vel οὖν positum, *igitur.*

εὐθὺς] Phrynichus: Εὐθύ· πολλοὶ ἀντὶ τοῦ εὐθύς. διαφέρει δέ. τὸ μὲν γὰρ τόπου ἐστὶν, εὐθὺ Ἀθηνῶν, τὸ δὲ χρόνου, καὶ λέγεται σὺν τῷ σ. (Buttm. § 117, 1. Pass. εὐθὺς 3.) Refutavit hoc Atticistae praeceptum Lobeckius ad eund. p. 144., docens nihil interesse inter εὐθὺς et εὐθὺ, nisi quod hoc in Atticorum dominetur sermone, tantumque in certis formulis εὐθὺς ἀπ' ἀρχῆς, εὐθὺς γενόμενος et similibus excludatur.

τὴν προςαγγελίαν ἀμφοτέρων τῶν υἱέων] Pro περὶ ἀμφοτέρων τῶν υἱέων. Matth. § 342, 1. § 367. Soph. Ai. 998. ὀξεῖά σου βάξις, *das Gerücht von dir.* Thucyd. VIII. 15. ἀγγελία τῆς Χίου, *Nachricht wegen Chios.* II. 79. ἡ τῶν Πλαταιέων ἐπιστρατεία, *expeditio contra Plataeenses.* (Exemplis a Matth. laudatis adde Eurip. Iph. T. 318. (329.) τὰ τῆς θεοῦ θύματα. 447. (468.) πρόσφαγμα θεᾶς. 757. (775.) ibique Seidl. Ion. 1234. (1253.) θύματα νερτέρων. Soph. Ai. 54. Antig. 1184.) Simili ratione *Latini* genitivo utuntur. Cf. Zumpt. § 421. Sallust. Cat. 52. *de sociorum iniuriis*, i. e. in socios.

λευχειμονοῦντα] Phavor. Λευχείμων· λευκὰ ἱμάτια φορῶν. Oppositum est τῷ μελανείμονι et τῷ μελανειμονεῖν.

δημηγορεῖν, *βουλάς τ' ἐξάρχοντ' ἀγαθάς*, πρός
τε τὸν πόλεμον ἐπιπαροϱμῶντα τοὺς Ἀθηναίους. Ξενο-
φῶντα δὲ τὸν Σωκρατικὸν θύοντά ποτε, παρὰ τῶν
ἀγγέλων ἀπὸ τοῦ πολέμου πυθόμενον, ὅτι ὁ υἱὸς αὐτοῦ
Γρύλλος ἀγωνιζόμενος ἐτελεύτησε, περιελόμενον τὸν στέ-
119 φανον, ἐξετάζειν, τίνα τρόπον ἐτελεύτησε· τῶν δ' ἀπαγ-
γειλάντων, ὅτι γενναίως ἀριστεύων καὶ πολλοὺς τῶν
πολεμίων ἀποκτείνας, μικρὸν παντελῶς διαστήσαντα
χρόνον καὶ τῷ λογισμῷ τὸ πάθος παρακατασχόντα,
ἐπιθέμενον πάλιν τὸν στέφανον, ἐπιτελεῖν τὴν θυσίαν
καὶ πρὸς τοὺς ἀγγέλους εἰπεῖν, ὅτι Θεοῖς ηὐξάμην, οὐκ
ἀθάνατον οὐδὲ πολυχρόνιον γενέσθαι μοι τὸν υἱὸν —
τὸ γὰρ τοιοῦτον ἄδηλον ὅτι συμφέρει — ἀγαθὸν δὲ
καὶ φιλόπατριν· ὁ δὴ καὶ γέγονε. Δίωνα δὲ τὸν Συρ-
ρακούσιον συνεδρεύοντα μετὰ τῶν φίλων, κατὰ τὴν
B οἰκίαν θορύβου γενομένου καὶ μεγάλης κραυγῆς, πυθό-
μενον τὴν αἰτίαν καὶ τὸ συμβεβηκὸς ἀκούσαντα, ὅτι ὁ
υἱὸς αὐτοῦ πεσὼν ἀπὸ τοῦ τέγους ἐτελεύτησεν, οὐδὲν
ἐκπλαγέντα, τὸ μὲν σωμάτιον κελεῦσαι τοῦ μεταλλάξαν-
τος ταῖς γυναιξὶ παραδοῦναι πρὸς τὴν νόμιμον ταφὴν,

*δημηγορεῖν*] Itemque quae continuo sequuntur, *ἐξετάζειν -- ἐπιτελεῖν*. De usu praesentis pro aoristo v. Buttm. § 137. not. 7. Thiersch. Gr. min. § 217, 1. a. Matth. § 504, 1. Bernh. p. 372.

*βουλάς τ' ἐξάρχοντ' ἀγαθάς*] In mente habuisse Plutarchus videtur Homeri de Ulixe verba Il. II. 273. *Ὢ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργε, Βουλάς τ' ἐξάρχοντ' ἀγαθάς, πόλεμόν τε κορύσσων.* — *Ἐξάρχειν* h. l. est *auctorem esse*; alias est *τῆς φόρμιγγος ἴδιον*. Vid. Pass. s. v. (In *ἐξάρχοντα* uti vulgo scribitur, resecuimus *τὸ α*, quod ortum videtur e seq. vocab. litera initiali.)

*ἐπιπαροϱμῶντα*] Demosth. Orat. ad Phil. lit. p. 152. extr. *ὁρμᾶν πρὸς τὸν πόλεμον. Παρορμᾶν* saepius apud Xenoph. Vid. annot. ad *ἀναλαβὼν* hoc ipso cap.

*μικρὸν παντελῶς διαστήσαντα χρόνον*] Idem fere quod paullo ante *μικρὸν ἐπισχόντα*, *nach einem Unterbruch von ganz kurzer Zeit*. *Διϊστάναι χρόνον*, *tempus interiicere* est significatio verbi nemini, quantum video, notata, aliaque, qua ea firmaretur, exempla frustra quaesivi. Eadem quidem notio inest vocabulo *διάστημα*, veluti Act. Ap. 5, 7. *ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα*, et verbum intransitivum habet Lucas 22, 59. *διαστάσης ὡσεὶ ὥρας μιᾶς*. Conf. cap. 14. p. 109. B. *διελθόντος ὀλίγου χρόνου*.

*ὅτι*] Pass. A. d.

*συνεδρεύοντα μετὰ τῶν φίλων*] Ael. Var. Hist. III. 4. *ἔτυχε χρηματίζων ὑπὲρ τινων δημοσίων καὶ κοινῶν πραγμάτων.*

*αὐτὸν δὲ, περὶ ὧν διεσκέπτετο, μὴ παραλιπεῖν. Τοῦτον
ζηλῶσαι λέγεται καὶ Δημοσθένην τὸν ῥήτορα, τὴν μόνην
καὶ ἀγαπητὴν ἀπολέσαντα θυγατέρα, περὶ ἧς φησιν
Αἰσχίνης, κατηγορῶν αὐτοῦ δόξας, ταυτί· „Ἑβδόμην δ'
ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆ-
σαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ
λευκὴν ἐσθῆτα ἀναλαβὼν ἐβουθύτει καὶ παρηνόμει, τὴν* C
*μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προςειποῦσαν*

*μὴ παραλιπεῖν*] Cur non *οὐ*? Pass. *μὴ* A. 3. Thiersch. Gr. min. § 226, 6. Matth. § 608, 3.

*Αἰσχίνης*] Aeschines in orat. adv. Ctesiph. 16. § 77. (Lysiae et Aesch. oratt. sel. ed. Bremii p. 324.)

*ἑβδόμην δ' ἡμέραν*] „Numerus ordinalis, iunctus vocabulo *ἡμέρα*, genitivum post se habet eius rei, a qua fit computatio, ut hic: septimo die post, quam filia mortua erat, post filiae mortem. Vocabulum autem, quod designat tempus, imprimis si sit *ἡμέρα*, ponunt in accusativo. Thucyd. VII. 23. *τρίτην ἡμέραν αὐτοῦ ἥκοντος*. Interdum etiam accusativus temporis absolute ponitur, non sequente genitivo." Bremii annot. ad h. l. Cf. Matth. § 425, 2. c. Etiam dativo utuntur Graeci, veluti Herod. VIII. 55. *δευτέρῃ δ' ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος*, plerumque autem genitivo, utrovis casu iuncto praepositioni *ἀπό*.

*πρὶν πενθῆσαι*] Schol. Eurip. ad Hec. 209. *Πένθος ἡ διὰ λύπην μελανειμονία καὶ ἡ κουρὰ καὶ ἡ οἴκοι ἀπόκλεισις καὶ ὅσα τοιαῦτα.*

*τὰ νομιζόμενα*] sunt ea, quae fieri solent, quae sunt moribus recepta. Phavor. *Νομίζεται· νόμιμόν ἐστι.* Ita apud Herodotum saepius *νομίζειν* idem valet atque *εἰωθέναι*. I. 35. 49. *νομίζουσι θυσίας ἔρδειν*. 131. *ἐκείνην τὴν ἡμέραν τιμᾶν νομίζουσι*. II. 50. *Ἕλληνες ἀπ' Αἰγυπτίων ταῦτα νενομίκασι.*

*ἀναλαβὼν*] Aeschines dixit *λαβών*; Plutarchus autem indulsit nimio saeculi sui studio verborum cum praepositionibus componendorum, qua in re sequioris aetatis scriptores singularem quandam elegantiam ornatumque quaerebant. En tibi aliquot exempla ex ipso hoc libello delecta, ubi verbum simplex aut una praepositio pro pluribus poterat satisfacere: cap. 10. init. *ἀπεμιμήσατο*. 11. extr. *κατοικτείρειν*. 14. p. 109. C. *διεξέρχεσθαι*. 31. extr. *ἀντιπαρηγορῶν*. 32. extr. *ἀποθεραπεύειν*. 33. p. 118. D. *ἐπιπαρορμῶντα*. p. 119. A. *παρακατασχόντα*. c. *διεξῆλθεν*. 34. F. *ἀπονεμηθέντος*. p. 220. B. *παρεπομένην*. (Aliud est *ἀναλαβὼν* cap. 37. extr.)

*ἐβουθύτει*] Scholiastes: *ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος.* Phavor. *Βουθυτεῖ· μεγάλην θυσίαν ποιεῖ.* Eurip. Hec. 261. *πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει.*

*παρηνόμει*] Bekkerus ex quinque codd. apud Aeschinem scripsit *παρενόμει*. Sed altera forma ut est rarior, ita in varietate lectionis praeferenda videtur, firmaturque Plutarchi libris. Cf. Brem. ad h. l. et Buttm. Gr. Gr. ampl. T. I. p. 345. Gr. min. § 86. not. 2. Matth. § 170. p. 310. extr.

*δείλαιος*] Phavor. *Δείλαιος· ἄθλιος, μάταιος, αἰσχρὸς, δειλὸς, ἀνάλκης* (scr. *ἄναλκις*).

ἀπολέσας." Οὗτος μὲν ῥητορικῶς προθέμενος αὐτοῦ κατηγορῆσαι, ταῦτα διεξῆλθεν, ἀγνοῶν, ὅτι διὰ τούτων αὐτὸν ἐπαινεῖ, τὸ πενθεῖν παρωσάμενον καὶ τὸ φιλόπατρι πρὸ τῆς τῶν ἀναγκαίων συμπαθείας ἐπιδειξάμενον. Ἀντίγονον δὲ τὸν βασιλέα πυθόμενον τὴν Ἀλκυονέως τοῦ υἱοῦ τελευτὴν ἐν παρατάξει γενομένην, μεγαλοφρόνως τε πρὸς τοὺς ἀπαγγείλαντας αὐτῷ τὴν συμφορὰν ἀπιδεῖν καὶ μικρὸν ἐπισχόντα καὶ κατηφιάσαντα προσειπεῖν· Ὦ Ἀλ-
D κυονεῦ, ὀψίτερον μετήλλαξας τὸν βίον, οὕτως ἀφειδῶς

*ῥητορικῶς προθέμενος*] Pass. s. v. *προτίθημι* Med. — Cicero Tusc. III. 26, 63. *Itaque et Aeschines in Demosthenem invehitur, quod is septimo die post filiae mortem hostias immolavisset. At quam rhetoriee! quam eopiose! quas sententias colligit! quae verba contorquet! ut licere quidvis rhetori intelligas: quae nemo probaret, nisi insitum illud in animis haberemus, omnes bonos interitu suorum quam gravissime lugere oportere.* Scilicet scripsit Cicero Tusculanas disputationes ut alios de philosophia libros post obitum Tulliolae suae.

*διεξῆλθεν*] Phavor. *Διεξέρχομαι· διηγοῦμαι.* Vid. quae dixi ad *διεξέρχεσθαι* cap. 14.

*ἀγνοῶν κ. τ. λ.*] Eadem laude Demosthenem ornat Plutarchus in illius vita c. 22. p. 855. extr. *Καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον, ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὰ δ' ἀλύπως φέρειν ταῦτα καὶ πράως ἀπεδοκίμαζεν κ. τ. λ.*

*παρωσάμενον*] Vid. annot. ad c. 26.

*πρὸ*] Pass. *πρὸ* I. 4.

*τῶν ἀναγκαίων*] Similiter Latini *necessarios* dicunt eos, qui cognationis aut affinitatis vinculis sunt coniuncti.

*Ἀντίγονον*] Antigonum Gonatam dicit, filium Demetrii Poliorcetae. Cf. Ael. Var. Hist. III. 5.

*μικρὸν ἐπισχόντα*] Pass. *ἐπέχω* 4.

*κατηφιάσαντα*] Phav. *κατηφιῶ· λυποῦμαι.* Vid. annot. ad *κατηφεῖς* cap. 37.

*ὀψίτερον*] *Ἀττικῶς* dicitur *ὀψαίτερον*, ut *πλησιαίτερον* et *περαίτερον*. Praeter Pass. v. Buttm. § 115. not. 6. Ad comparativum autem supplendum est *ἢ ᾤόμην* vel tale quid. Matth. § 457.

*ἀφειδῶς*] cuiusnam? hostiumne, an sui? Illa significatione saepius legitur, veluti ap. Herod. I. 207. *ἀφειδέως ἐφόνευον, φειδόμενοι οὔτε ὑποζυγίου οὐδενὸς, οὔτε ἀνθρώπου.* Sed h. l. Xylander reddidit *secure*, i. e. *καταφρονῶν τοῦ θανάτου.* Tyrt. Fragm. I, 14. *ψυχέων μηκέτι φειδόμενοι.* Thucyd. II, 51. (in enarrat. pestis) *αἰσχύνῃ γὰρ ἠφείδουν σφῶν αὐτῶν, ἐσιόντες παρὰ φίλους.* Pseudo-Demosth. Epitaph. p. 1394, 18. *οὐδὲ ψυχῆς ἐφείσαντο.* Horat. Od. I. 12, 37. *animae magnae prodigum Paullum.*

ἐφορμῶν πρὸς τοὺς πολεμίους, καὶ οὔτε τῆς ἑαυτοῦ σωτηρίας οὔτε τῶν ἐμῶν παραινέσεων φροντίζων. Τούτους δὴ τοὺς ἄνδρας θαυμάζουσι μὲν τῆς μεγαλοφροσύνης πάντες καὶ ἄγανται, μιμεῖσθαι δ' ἐπὶ τῶν ἔργων οὐ δύνανται διὰ τὴν ἐκ τῆς ἀπαιδευσίας ἀσθένειαν τῆς ψυχῆς. Πλὴν πολλῶν ὄντων παραδειγμάτων τῶν διὰ τῆς ἱστορίας ἡμῖν παραδεδομένων τῆς τε Ἑλληνικῆς καὶ τῆς Ῥωμαϊκῆς τῶν γενναίως καὶ καλῶς ἐν ταῖς τῶν ἀναγκαίων τελευταῖς διαγινομένων, ἀποχρήσει τὰ εἰρημένα πρὸς τὴν ἀπόθεσιν τοῦ παντὸς ἀνιαρωτάτου πένθους καὶ τῆς ἐν τούτῳ πρὸς οὐδὲν χρήσιμον ματαιοπονίας. E

λδ'. Ὅτι γὰρ οἱ ταῖς ἀρεταῖς διενεγκόντες ὡς θεοφιλεῖς νέοι μετέστησαν πρὸς τὸ χρεών, καὶ πάλαι μὲν διὰ τῶν

*τῆς ἑαυτοῦ σωτηρίας*] Tertiae personae pronomen reflex. pro secundae pers. positum. Conf. annot. ad *ἑαυτοῖς* cap. 32.

*τῆς μεγαλοφροσύνης*] Buttm. § 132, 6, 1. Matth. § 317. not. Thiersch. Gr. min. § 183, 1. Bernh. p. 152.

*ἐπὶ τῶν ἔργων*] Matth. § 584, ζ. Xenoph. Cyrop. I. 6, 25. *ἐπὶ τῶν πράξεων φανερὸν εἶναι.* Similiter etiam nos dicimus, *sie in ihren Werken nachahmen.*

*πλὴν*] Phav. *Πλὴν· ἐκτὸς, ἢ ὁμοίως.* (F. *ὅμως.* Or.) Pass. 2.

*διαγινομένων*] Phav. *Διαγίνεσθαι· ἀντὶ τοῦ διάγειν, καὶ ἁπλῶς διατρίβειν. διαγίνεσθαι καὶ τὸ διὰ τέλους καρτερεῖν καὶ ἀνέχεσθαι.* Ceterum pro praesenti exspectaveris aoristum, qui in duobus legitur scriptis: at illud tamen quodam modo poterit defendi.

*ἀποχρήσει*] Phav. *Ἀπόχρη· σημαίνει τὸ ἀρκεῖ. δοτικῇ, οἷον· οὐκ ἀπόχρη αὐτῷ τοσαῦτα ἔχειν.* Pass. s. v. *αποχράω.*

*τὴν ἀπόθεσιν*] *Ἀπόθεσις* ut rarius vocabulum notatur a Wyttenbachio, qui laudat I. Petr. 3, 21. *σαρκὸς ἀπόθεσις ῥύπου* et II. 1, 14. *ἡ ἀπόθεσις τοῦ σκηνώματός μου.* Plut. Alex. c. 75. p. 706. B. *ἀποθέμενος τὸ πένθος.* Quibus addimus Hierocl. Comment. in Pythag. Aur. Carm. p. 62. (ed. Lond. 673.) *ὥστε τούτου χάριν τὸν φίλον ποτὲ ἀποθησόμεθα, ὡς μηκέτι δυνάμενον εἶναι κοινωνὸν ἡμῖν ἀρετῆς, ἧς ἕνεκα καὶ τὴν ἀρχὴν φίλον αὐτὸν ἐποιησάμεθα· ἡ δὲ ἀπόθεσις φυλαττέτω τὸ μὴ εἰς ἔχθραν μεταπεσεῖν.* (*Τῇ ἀποθέσει τῶν φίλων* opponitur ib. p. 65. *ἡ τήρησις τῶν φίλων.*) De locis, in quibus lavantium vestes asservantur, h. v. utitur Lucianus in Hippia c. 5. (ed. Reitz. T. III. p. 71.) *ἑκατέρωθεν διαρκεῖς τοῖς ἀποδυομένοις ἀποθέσεις.*

*παντὸς*] De Genitivo v. Buttm. § 132, 4, 2, a. Thiersch. Gr. min. § 179, 3. Matth. § 333. cap. 37. in. *τοῦ πάντων ἀνιαρωτάτου πένθους*, quod sane intellectu facilius est.

*ματαιοπονίας*] Usus est etiam Lucianus hoc voc. Dial. Mort. X. 8.

XXXIV. *μετέστησαν πρὸς τὸ χρεών*] V. annot. ad *εἰς τὸ χρεὼν ὁδευόντων* cap. 23.

*πρόσθεν ὑπέμνησα λόγων, καὶ νῦν δὲ πειράσομαι διὰ
βραχυτάτων ἐπιδραμεῖν, προςμαρτυρήσας τῷ καλῶς ὑπὸ
Μενάνδρου ῥηθέντι τούτῳ·*

*Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος.*

*Ἀλλ' ἴσως ὑποτυχὼν ἂν φαίης, Ἀπολλώνιε φίλτατε·
Σφόδρ' ἦν ἐπιτετευγμένος ὁ νεανίσκος Ἀπολλώνιος ἐν
μοίραις, καὶ σὲ ἔδει ὑπ' ἐκείνου τελείου γενομένου κηδευ-
θῆναι μεταλλάξαντα τὸν βίον· τοῦτο γὰρ εἶναι κατὰ*
F *φύσιν. Τὴν ἡμετέραν δηλονότι καὶ τὴν ἀνθρωπίνην, ἀλλ'
οὐ κατὰ τὴν τῶν ὅλων πρόνοιαν καὶ τὴν κοσμικὴν διάταξιν.
Ἐκείνῳ δὲ τῷ μακαρισθέντι οὐκ ἦν κατὰ φύσιν περαιτέρω
τοῦ ἀπονεμηθέντος αὐτῷ χρόνου πρὸς τὸν ἐνθάδε βίον*

*διὰ τῶν πρόσθεν*] Pass. *διὰ* A. 4., et paullo post, *διὰ τῶν βραχυτάτων* v. Pass. *διὰ* A. 3.

*ὑπὸ Μενάνδρου*] Menandri et Philem. Fragm. ed. Mein. p. 48. Latine hunc versum reddidit Plautus Bacch. IV. 7, 18. *quem di diligunt, adolescens moritur.* Qua de sententia cf. ea quae dixi ad cap. 17.

*ἐπιτετευγμένος*] I. e. *bono successu politus*, quod sententiae non convenit. Mirifice fluctuant libri inter *ἐπιτετευγμένος*, *ἐπιτετευμένος*, *ἐπιτεταμένως*. Legendum suspicatur Reisk. *ἐπεσπευσμένος*, Wytt. *ἐπειγόμενος* — *ἐν μοίραις*, vel omissa praepositione *ἐν*, haec afferens similia: Palladae in Anthol. III. 6. *Γέσσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ μοίρης· Αὐτὸς τὴν μοῖραν προύλαβεν εἰς Ἀίδην.* Sophocl. Fragm. ap. Stob. 122 (121). p. 613. Gesn. *Θανόντι κείνῳ συνθανεῖν ἔρως μ' ἔχει. Ἥξεις· ἐπείγου μηδὲν εἰς τὸ μόρσιμον.* Oed. Col. 1540. *ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν.* Hom. Il. ψ, 623. *ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.* Ovid. Metam. X. 31. *Eurydices, oro, properata retexite fila.* — *Serius aut citius sedem properamus ad unam.*

*καὶ σὲ ἔδει*] Exspectaveris *μέ*: sed inflectit scriptor orationem rectam in obliquam, neque verba *καὶ σὲ ἔδει κ. τ. λ.* sunt Apollonii patris, sed Plutarchi ex illius sententia loquentis.

*τελείου*] Phavor. *Τέλειόν ἐστι τὸ συμπληρούμενον τῷ ἰδίῳ λόγῳ τῆς φύσεως.* Ita apud Herod. I. 121. *ὄψις ὀνείρου οὐ τελέη*, *somnii visum ad exitum non perductum.* Nos quoque vita defunctos dicere solemus *Vollendete.*

*κηδευθῆναι*] Phav. *Κηδεύω· τὸ τῆς προςηκούσης τοῖς νεκροῖς κηδεμονίας ἀξιῶ.* Hac notione saepius apud Herodotum legitur, *funus alicuius curare.*

*τὴν ἡμετ. κ. τ. ἀνθρωπ.*] E praecedd. intellige *κατὰ φύσιν.*

*διάταξιν*] Phav. *Διατάξεων· διοικήσεων.* Lucian. Dial. Mort. VI. 1. 2. *τὸ δὲ ἄλλως ἡ μοῖρα καὶ ἡ φύσις διέταξεν. οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως.*

*τῷ μακαρισθέντι*] I. q. *τῷ μακαρίτῃ*, de quo voc. vid. annot. ad c. 34. extr.

*περιμένειν, ἀλλ' εὐτάκτως τοῦτον ἐκπλήσαντα πρὸς τὴν εἱμαρμένην ἐπανάγειν πορείαν, καλούσης αὐτῆς, φησίν, ἤδη πρὸς ἑαυτήν. Ἀλλ' ἀώρως ἐτελεύτησεν. Οὐκοῦν εὐποτμότερος διὰ τοῦτο, καὶ κακῶν ἀπείρατός ἐστιν· ὁ βίος γάρ, φησὶν Εὐριπίδης, ὄνομ' ἔχει, πόνος ἐγώ σ'· οὗτος δ' ἐπὶ τῆς εὐανθεστάτης ἡλικίας προαπεφοίτησεν*

*πρὸς τὸν ἐνθάδε βίον περιμένειν*] Pro *ἐν τῷ βίῳ*. Pass. *πρὸς* C. 5. Matth. § 591. *η*.

*τὴν εἱμαρμένην πορείαν*] Plat. Menex. c. 5. init. p. 236. *πορεύονται τὴν εἱμαρμένην πορείαν*, quam mortis *περίφρασιν* ad sublimitatem orationis valere censuit Longinus *περὶ ὕψ*. 28.

*ἐπανάγειν*] h. l. intransitive dictum est.

*φησίν*] Conf. Bos. Ellips. p. 782. Plene dicendum erat; *ὥς φησιν ὁ ποιητὴς* vel *ἀνὴρ τραγικός*, ut est apud Platonem in Phaedon. p. 115. A. *Ὑμεῖς μὲν οὖν, ὦ Σιμμία τε καὶ Κέβης καὶ οἱ ἄλλοι, εἰσαῦθις ἔν τινι χρόνῳ ἕκαστοι πορεύσεσθε· ἐμὲ δὲ νῦν ἤδη καλεῖ, φαίη ἂν τις ἀνὴρ τραγικός, ἡ εἱμαρμένη*. Wyttenh. (in annot. ad h. l. Plutarchi) tale fuisse quoddam tragici dictum suspicatur: equidem potius Plutarchum ad illa ipsa Platonis verba respexisse putem, quibus non certum aliquod tragici dictum laudatur, sed, ut vere mihi iudicare videtur Stallbaumius, tragici sermonis granditas cum leni cavillatione perstringitur.

*ἀλλ' ἀώρως ἐτελεύτησεν*] Obiectio est patris, post quam editores minus recte interrogationis signum ponere solebant.

*οὐκοῦν*] De vocc. *οὐκοῦν* et *οὔκουν* v. Pass. Buttm. § 149. p. 432. Herm. ad Vig. p. 794. Thiersch. Gr. min. § 257, 21.

*κακῶν ἀπείρατος*] Vid. annot. ad *πειραθέντες κακῶν* cap. 24. Lucian. Nigr. 15. *ἄγευστος μὲν ἐλευθερίας, ἀπείρατος δὲ παῤῥησίας, ἀθέατος δὲ ἀληθείας* κ. τ. λ. — Phav. *Ἀπείρατος κάλλιον ἢ ἄπειρος καὶ ἐπὶ τριῶν γενῶν*.

*Εὐριπίδης*] Euripidi in hoc incertae sedis fragmento (ap. Matth. Vol. IX. p. 390.) obversatum fuisse videtur Heracliti *τοῦ σκοτεινοῦ* dictum ab Etym. M. p. 198. et Eustathio ad Il. *α'*. p. 31, 6. servatum: *Ἔοικε δὲ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιὸς τὸ τόξον καὶ ἡ ζωή. Ἡράκλειτος οὖν ὁ σκοτεινός, τῷ οὖν βιῷ* (vulg. *τόξῳ*) *ὄνομα βίος, ἔργον δὲ θάνατος*. [*„Bedeutet doch des Bogens Name Leben, sein Geschäft aber ist Tod." Offenbar wollte H. hier mit Vernachlässigung des Tons die Sprache auf seine Seite ziehen, dafs der Tod selbst Leben seyn müsse.* Schleiermacher üb. Herakl. in d. Museum d. Alterthumswiss. v. Wolf u. Buttm. Bd. I. S. 503.] Cf. annot. ad cap. 10. p. 106. E. et simile Africani dictum ap. Cic. de Rep. VI. 14. *Immo vero ii vivunt, qui ex corporum vinculis tamquam e carcere evolaverunt: vestra vero, quae dicitur, vita mors est.* — Pro vitiosa omnium librorum scriptura *πόνος ἐγώ σ'*, Grotius (Excerpt. Trag. p. 433.) admodum probabiliter coniecit: *Ὁ βίος γὰρ ὄνομ' ἔχει, πόνος δ' ἔργῳ πέλει*, (*vita haec vocatur vita, revera est labor*), assentiente Valcken. ad Eurip. Phoen. p. 402. Xylander suspicatur, *πόνος περ ὤν*, quo non exsistit iustus senarius.

ὁλόκληρος ἤϑεος, ζηλωτὸς καὶ περίβλεπτος πᾶσι τοῖς συνήϑεσιν αὐτῷ, φιλοπάτωρ γενόμενος, καὶ φιλομήτωρ, καὶ φιλοίκειος, καὶ φιλόσοφος, τὸ δὲ σύμπαν εἰπεῖν, φιλάνϑρωπος· αἰδούμενος μὲν τοὺς πρεσβυτέρους τῶν φίλων, ὥςπερ πατέρας, στέργων δὲ τοὺς ὁμήλικας καὶ συνήϑεις, τιμητικὸς δὲ τῶν καϑηγησαμένων, ξένοις δὲ καὶ ἀστοῖς πρᾳότατος, πᾶσι δὲ μείλιχος καὶ φίλος διά τε τὴν ἐξ ὄψεως χάριν καὶ τὴν εὐπροςήγορον φιλανϑρω-
B πίαν. Ἀλλὰ γὰρ ἐκεῖνος μὲν τῆς τε σῆς εὐσεβείας καὶ τῆς ἑαυτοῦ τὴν πρέπουσαν εὐφημίαν ἔχων, πρὸς τὸν ἀεὶ χρόνον προαπεφοίτησε τοῦ ϑνητοῦ βίου, καϑάπερ ἐκ τοῦ συμποσίου, πρὶν εἴς τινα παροινίαν ἐκπεσεῖν τὴν

ὁλόκληρος] Phav. Ὁλόκληρός ἐστιν ὁ καὶ τὴν πρᾶξιν μετὰ τῆς γνώσεως, καὶ τὴν ϑεωρίαν οὐκ ἄπρακτον διανύων. Mira sane interpretatio; ὁλόκληρος est i. q. ἀκέραιος, quocum coniungitur a Luciano Asin. c. 33. extr. *integer*, *unverdorben*, *unbefleckt*. Polyb. XVIII. 28. εὔκλειαν ὁλόκληρον περιποιήσασϑαι.

ἤϊϑεος] Scriptoribus a Passow. in Lex. Gr. et a Ruhnkenio ad Tim. p. 132. sq. laudatis adde Phavorinum, qui praeter alia s. h. v. haec habet: Ἤϊϑεοι καὶ παρϑένοι· ὃ γὰρ ἐν ἡλικίᾳ γυναικῶν αἱ παρϑένοι, τοῦτο ἐν ἀνδράσιν ἤϊϑεοι, οἱ ὡραῖοί φασι γάμοι [scr. εἰσι γάμου] καὶ μηδέπω γεγαμηκότες — et Lucianum de Syria Dea c. 60. Τροιζήνιοι τῇσι παρϑένοισι καὶ τοῖσι ἠϊϑέοισι νόμον ἐποιήσαντο, μή μιν ἄλλως γάμον ἰέναι, πρὶν Ἱππολύτῳ κόμας κείρασϑαι. Est autem haec significatio iam ab Homero repetenda, apud quem Odyss. VI. 63 sq. Nausicaa ad patrem suum ita loquitur: πέντε δέ τοι φίλοι υἷες ἐνὶ μεγάροις γεγάασιν, Οἱ δύ' ὀπυίοντες, τρεῖς δ' ἠΐϑεοι ϑαλέϑοντες. Cf. Il. XVIII. 593. ἠΐϑεοι καὶ παρϑένοι. XXII. 127. παρϑένος ἠΐϑεός τε. Od. XI. 38. νύμφαι ἠΐϑεοί τε.

πρᾳότατος] Phav. Οἱ πρᾳεῖς· οἱ μὴ ὀξύῤῥοποι πρὸς τὰς ἐμπαϑεῖς τῆς ψυχῆς κινήσεις, ἀλλὰ κατεσταλμένοι τῷ λόγῳ, ὡς (οἱ) μακάριοι οἱ πρᾳεῖς. ἡ φύσις γὰρ πρὸς κακίαν εὔκολός ἐστι, καὶ ὀξύῤῥοπος ἐπὶ τὸ χεῖρον. Idem fere significat nomen ἐπιεικής. — Lucian. Demon. c. 11. τοὺς Ἀϑηναίους ἤδη λίϑους ἐπ' αὐτὸν ἐν ταῖν χεροῖν ἔχοντας, πρᾴους αὐτῷ καὶ ἵλεως γενέσϑαι αὐτίκα.

μείλιχος] Vid. Pass. Similiter Latini in blanditiis voce. *mellitus* et *melliculum* usurpant. Cic. ad Att. I. 18. *ut tantum requietis habeam, quantum cum uxore et filiola et mellito Cicerone consumitur.* Plaut. Pseud. I. 2, 47. *mellita puella.* Curc. I. 1, 11. *melliculo dulci meo.*

προαπεφοίτησε τοῦ βίου — πρὶν] *e vita ante decessit, quam* —. Vid. Pass. s. v. ἀποφοιτάω.

καϑάπερ ἐκ τοῦ συμποσίου κ. τ. λ.] Laudantur a Wyttenb. nonnulli scriptores, qui in eodem simili versantur: Aristoteles ap. Maxim. et Anton. p. 878. Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ἐξελ-

τῷ μακρῷ γήρᾳ παρεπομένην. Εἰ δ' ὁ τῶν παλαιῶν τε ποιητῶν καὶ φιλοσόφων λόγος ἐστὶν ἀληθὴς, ὥςπερ εἰκὸς ἔχειν οὕτω, καὶ τοῖς εὐσεβέσι τῶν μεταλλαξάντων ἔστι τις τιμὴ καὶ προεδρία, καθάπερ λέγεται, καὶ χῶρός τις ἀποτεταγμένος, ἐν ᾧ διατρίβουσιν αἱ τούτων ψυχαὶ, καλὰς ἐλπίδας ἔχειν σε δεῖ περὶ τοῦ μακαρίτου υἱέος σου, ὅτι τούτοις συγκαταριθμηθεὶς συνέσται.

λε'. Λέγεται δὲ ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου ταυτὶ C
περὶ τῶν εὐσεβέων ἐν ᾅδου·

θεῖν, ὡς ἐκ συμποσίου, μήτε διψῶντα, μήτε μεθύοντα. Horat. Sat. I. 1, 117. *Inde fit, ut raro, qui se vixisse beatum Dicat et exacto contentus tempore vita Cadat, uti conviva satur, reperire queamus.* Ep, II. 2, 213. *Vivere si recte nescis, decede peritis: Lusisti satis, edisti satis atque bibisti: Tempus abire tibi est; ne potum largius aequo Rideat et pulset lasciva decentius aetas.* Conf. Cic. Tusc. V. 40. Lucret. 3. 973.

ἐκπεσεῖν] Ne id positum putes pro ἐμπεσεῖν; illa enim praepositio exitum denotat. Pass. ἐκπίπτω d. Lucian. Iov. Conf. 7. εἰς ἄπειρον ἐκπίπτει τὸ πρᾶγμα.

οὕτω, καὶ] Wyttenb. vulgarem distinguendi rationem οὕτω καὶ defendens multis demonstravit exemplis, antecedd. particulis εἰ, ἐπεὶ, ἂν, similibus, sequi οὕτω, quem nominis usum attigit Passow. s. v. 7. (Conf. annot. ad οὕτως cap. 27.) At vero huic explicationi h. l. duae res obstant: ac primum quidem non hic incipit apodosis, sed a verbis καλὰς ἐλπίδας κ. τ. λ.; deinde particula καὶ h. l. non est augentis, sed explicantis et coniungentis: neque enim dicere voluit, *etiam* piis certum esse quendam ac definitum locum, ubi beati aevo sempiterno fruantur, quasi vero id aliis contingat praeter eos ipsos, qui pie sancteque vixerunt.

μακαρίτου] Phav. Μακαρῖται· οἱ ἀποθανόντες. Εὐφημισμὸς magis usitatus scriptoribus Christianis, quam veteribus Graecis, qui nomine μακαρίτης numquam nisi de nuper mortuis sunt usi. Vid. Ruhnken. ad Tim. p. 59. qui praeter alios laudat Aeschylum (immo Aristophanem) ap. Stob. p. 609. ed. Gesn. Πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται. Adde Aesch. Pers. 639. ὁ μακαρίτας ἰσοδαίμων βασιλεὺς, ubi v. Blomf. Theocrit. II. 70. ἁ Θευχαρίλα, Θρᾶσσα τροφὸς ἁ μακαρῖτις. Frequentius est apud posterioris aevi scriptores. Lucian. de luctu 24. ἔασον ἀναπαύσασθαι τοὺς τοῦ μακαρίτου δαίμονας. Dial. meretr. VI. T. III. p. 293. in.) ὁ μακαρίτης σου πατήρ. Itemque de Morte Peregr. (ib. p. 340.)

XXXV. ὑπὸ μὲν τοῦ μελικοῦ] Particulam adversativam invenies cap. seq. in. ὁ δὲ θεῖος Πλάτων.

Πινδάρου] Simonidem παθητικῶς, Pindarum μεγαλοπρεπῶς οἰκτίζεσθαι, Dionysius Halic. dicit Rhetor. p. 69. init. et Sylb. — De Pindari Θρήνοις Horatius Carm. IV. 2. *Flebili sponsae iuvenemve raptum plorat et vires animumque moresque Aureos educit in astra, nigroque Invidet Orco.*

ἐν ᾅδου] Vid. Pass. ᾅδης.

*Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,*
*φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν*
*καὶ λιβάνῳ σκιαρᾷ καὶ χρυσέοις καρποῖς βέβριθεν.*
*καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,*
*τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐαν-*
*θὴς ἅπας τέθαλεν ὄλβος·*

*τοῖσι κ. τ. λ.*] Scripsimus Pindari verba, uti nunc in eius poëtae fragmentis ab Hermanno et Boeckhio emendata leguntur (ed. Boeckh. mai. n. 95. p. 620. ed. min. p. 222.), vulgataeque lectionis varietatem haud ita magnam suo loco indicabimus. Sunt autem hi dulcissimi versus e logaoedico genere, quod est mixtum e dactylicis et trochaicis numeris: quorum descriptionem in extremo libello exhibebimus.

*μένος*] Phav. *Μένος· δύναμις, ὁρμή.* Nonnumquam a poëtis Soli tribuitur. Vid. Pass. c. Adde Solon. Fragm. v. 23. (Poet. Gr. min. ed. Gaisf. p. 135. Lips.) *Λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν Καλόν.*

*τὰν ἐνθάδε νύκτα*] *quum hic terrarum nox est.* De accusativo v. Buttm. § 131, 8. Thiersch. Gr. min. § 196. Matth. § 425, 2. Hom. Il. II. 56. *νύκτας τε καὶ ἦμαρ*, *noctesque diesque.*

*κάτω*] iungendum est cum *τοῖσι λάμπει.*

*προάστιον*] Sic Boeckh. scripsit pro vulg. *προάστειον.* Cfr. Matth. p. 57. Pind. Pyth. I. 75. *βαρείας δουλίας* pro *δουλείας.*

*λιβάνῳ*] Phrynichus p. 187. *Λίβανον λέγε τὸ δένδρον, τὸ δὲ θυμιώμενον λιβανωτὸν*, ubi in commentariis nostrum non attulit locum eruditissimus editor. Itemque Phavorinus: *Λίβανος καὶ λιβανωτὸς διαφέρουσι· λίβανος μὲν γὰρ αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς τοῦ λιβάνου. — Λίβανος δὲ εἴρηται οἱονεὶ ὁ λειβόμενος καὶ σπενδόμενος. — Λίβανον καὶ θηλυκῶς ὁ Εὐριπίδης, Συρίας θ' ὡς λιβάνω καρπός, καὶ Πίνδαρος, αἴτε τὰν χλωρὰν λίβανον* [scr. *τᾶς χλωρᾶς λιβάνου*] *ξανθὰ δάκρυα θυμιᾶτε.*

*σκιαρᾷ*] In Plutarchi libris est *σκιερὰν* praeter unum, qui habet *σκιαρόν*. Hinc Hermannus, servata Dorica forma, fecit *σκιαρᾷ.*

*χρυσέοις καρποῖς*] Vulgatam lectionem *χρυσοκάρποισι(ν)* retinere voluit Hermannus, „quae etsi similiter formatis substantivis, ut *καλλίπαις*, defendi possit, tamen auctoritate caret." Boeckh.

*βέβριθεν*] Phavor. *Βρίθει τὸ δένδρον τοῖς καρποῖς, ἀντὶ τοῦ βαρύνεται· βρίθειν καρπῷ τὴν πολλὴν εὐθηνίαν τῶν καρπῶν δηλοῖ, καὶ βρίθειν, γέμειν.*

*τοὶ μὲν — τοὶ δὲ*] Buttm. § 75. not. 2. Matth. § 65. not. 3. Thiersch. Gr. min. § 138, 5.

*γυμνασίοις τε*] Copulam *τε*, sequenti vocabulo obliteratam, feliciter restituit Boeckhius.

*τέθαλεν*] Dorica forma pro *τέθηλεν*. *Μεταφορὰ* frequens est neque Graeco sermoni propria. Simon. Fragm. 22. (Poet. Gr. min. ed. Gaisf. p. 166. Lips.) *πόλιν ἐλευθερίᾳ τεθαλυῖαν.* 230, 85. (p. 212.) *θάλλει δ' ὑπ' αὐτῆς* [*τῆς γυναικὸς*] *κἀπαέξεται βίος.*

*ὄλβος*] I. q. *εὐδαιμονία*, quamquam in illo inest notio quaedam abundantis copiae magnarumque opum. Hinc passim *ὄλβος* idem est atque *πλοῦτος*, veluti ap. Callim. Hymn. in Iov. 95. *Οὔτ' ἀρετῆς*

*ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται*
*αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν*
*ἐπὶ βωμοῖς.*

*Καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων φησίν·*

*Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον [μετανίσσονται]*
*τελευτάν.*
*καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,* D
*ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον*
*ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόν-*
*τεσσιν ἐν πολλοῖς ὀνείροις*
*δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.*

*ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν.* **Simonid.** V. 3. (l. l. p. 135.) Musas alloquutus: *Ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε.* Id. fr. 11. *τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται* — ap. **Herod.** I. 30. *ὄλβια* i. e. *πλούσια.*

*κίδναται*] **Phav.** *Σκίδναται· σκεδάννυται.* De aurora **Homerus** Il. VIII. 1. *Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν*, de sole **Mimnermus** fr. 2. (l. l. p. 220.) *ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος*, de somno **Euripides** Hec. 915. *ὕπνος ἡδὺς ἐπ' ὄσσοις κίδναται.*

*μιγνύντων*] Intellige *αὐτῶν:* est enim genitivus absolutus.

*θύα — παντοῖα*] Alias dicuntur *θυμιάματα, ἀρώματα.*

*ἐν ἄλλῳ θρήνῳ*] **Pindar.** l. l. p. 621. Conf. **Plutarch.** Rom. c. 28. p. 35. extr. *Λεκτέον οὖν ἐχομένοις τῆς ἀσφαλείας κατὰ Πίνδαρον, ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ, ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον ἐκ θεῶν:* quem locum in restituendis numeris maxime sequutus est **Boeckhius.**

*μετανίσσονται*] Et sententiae et numerorum lacunam invenit, felicique ingenii acumine supplevit **Hermannus.**

*ζωὸν δ' ἔτι κ. τ. λ.*] „**Pindarus** divinam auram, quod *εἴδωλον* vocat, immortalem statuit; ea post mortem sola sine corpore est; eandem etiam viventibus adesse iudicat, sed consopitam, quia haec vita et status mortis sibi opposita sunt. Sed in somniis, corpore dormiente, divina natura illi qui post hanc vitam est statui propior reperitur et vigilans divinat; quae dormiebat, dum corpus et membra vigilantia operabantur (*πρασσόντων μελέων*). *Πράσσειν* absolutum est id quod *ἐργάζεσθαι, operari, agere*, ut Nem. I. 26. sine accusativo: *πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρήν.* Iam vero in illa, quam dixi, somniorum divinatione, qua vates maxime excellebant, nec minus **Pindarus**, qui somniis plurimum tribuisse fertur (v. **Pausan.** IX. 23. coll. Vit. Pind. p. 9.) animis futura revelantur. Hoc autem loco *τερπνῶν χαλεπῶν τε κρίσις ἐφέρπουσα* somniis declarari dicitur, hoc est *apud inferos futurum iudicium de praemiis et poenis*, de quibus quae casci vates et mysteria tradiderant, ea divina natura per somnum et ecstasin docuerat." **Boeckhius.** Ceterum de opposita huic vitae illa apud inferos conditione conf. cap. 10. p. 106. B. et cap. 34. p. 120. init. et quae utroque loco annotavimus.

λς'. Ὁ δὲ θεῖος Πλάτων πολλὰ μὲν ἐν τῷ περὶ Ψυχῆς περί τε τῆς ἀθανασίας αὐτῆς εἴρηκεν, οὐκ ὀλίγα δ' ἐν τῇ Πολιτείᾳ καὶ τῷ Μένωνι καὶ τῷ Γοργίᾳ καὶ σποράδην ἐν τοῖς ἄλλοις διαλόγοις. Ἀλλὰ τὰ μὲν ἐν τῷ περὶ Ψυχῆς διαλόγῳ ῥηθέντα κατ' ἰδίαν ὑπομνηματισάμενός σοι παρέξομαι, ὡς ἐβουλήθης· πρὸς τὸ παρὸν δὲ καίρια καὶ χρήσιμα τὰ λεχθέντα πρὸς [Καλλικλέα] τὸν Ἀθηναῖον,

ἐφέρποισαν] Pind. Olymp. VI. 164. μὴ θραύσοι χρόνος ὄλβον ἐφέρπων. Sic etiam nos interdum cum maiore quadam vi ac gravitate verbis *kommen* et *nahen* utimur. — „Ἕρπειν Dorice scribentibus quibusvis frequentatur pro ἔρχεσθαι." Valcken. ad Eurip. Hippol. 555. — De forma -οισαν adi Buttm. § 27. not. 4. Matth. § 14. extr. Thiersch. Gr. min. § 168.

XXXVI. ὁ θεῖος Πλάτων] Usu valuit, ut in suo quisque genere princeps diceretur *Deus*. Cic. de Nat. D. II. 12, 32. *Platonem* appellat *quasi quendam deum philosophorum*. Ep. ad Att. IV. 16. *Deus ille noster Plato*. Cfr. annot. ad cap. 6. ὁ θεῖος Ὅμηρος.

ἐν τῷ περὶ Ψυχῆς] in eo sermone, qui Phaedo inscribitur.

ἐν τῇ Πολιτείᾳ] Lib. X. a cap. 12. p. 614 sqq.

ἐν τῷ Μένωνι] Cap. 14. p. 81.

ἐν τοῖς ἄλλοις διαλόγοις] Veluti in Phaedro a § 51. p. 245. C., in Apol. Socr. a cap. 32. p. 40. C., in Theaeteto § 84. p. 176. B.

κατ' ἰδίαν ὑπομνηματισάμενος] Significare videtur Plutarchus, alio libro separatim ad Apollonium scribendo ea, quae a Platone de animorum immortalitate sint disputata, se commentariis suis esse illustraturum. — Verbum ὑπομνηματίζεσθαι Wyttenb. ut ἅπαξ εἰρημένον notavit, quum substantivum ὑπομνηματισμὸς bis terve apud Plutarchum, Iamblichum et Antoninum [adde Polybium] legatur. Non recordabatur homo doctissimus Longini verba I. 2. Ἐπεὶ δ' ἐνεκελεύσω καὶ ἡμᾶς τι περὶ ὕψους πάντως τι εἰς σὴν ὑπομνηματίσασθαι χάριν κ. τ. λ., neque Polyb. V. 33. οἱ ὑπομνηματιζόμενοι.

ἐβουλήθην] Attici plerumque scribebant ἠβουλήθην. Buttm. § 83. not. 5. (Thiersch. Gr. min. § 48, 2. not. 5.) Matth. § 162. not. 3. — Inter βούλεσθαι et ἐθέλειν hoc discrimen statuit Buttmann. in Lexil. p. 26. sq., ut ἐθέλειν de voluntate usurpari dicat, quae in nostra potestate et consilio sita sit, βούλεσθαι de re, quam non tam spectemus quam in votis habeamus: quod etsi in plerisque Homeri atque Hesiodi locis valet discrimen, tamen a ceteris scriptoribus non adeo constanter est observatum. Vid. Schaefer. Appar. ad Demosth. T. I. p. 261. Bornem. ad Xenoph. Cyrop. I. 2, 11.

πρὸς τὸ παρὸν δὲ κ. τ. λ.] Complurium librorum lectionem τὰ δὲ πρὸς τὸ παρὸν καίρια καὶ χρήσιμα vulgatae anteferendam, hisque verbis παραθήσομαι addendum censuit Wytt. Ac certe quidem τὸ παρὸν requirere videtur praepositionem: est enim πρὸς τὸ παρὸν i. q. ἐν τῷ παρόντι. Ad καίρια καὶ χρήσιμα autem facillime intelligi poterit ἐστίν.

Καλλικλέα τὸν Ἀθηναῖον] Aegre hic desideratur in vulg. edd. hominis nomen, quod, etsi miro modo ex omnibus scriptis evanuit,

*ἑταῖρον δὲ καὶ μαθητὴν Γοργίου, τοῦ ῥήτορος. Φησὶ* E
*γὰρ ὁ παρὰ Πλάτωνι Σωκράτης· „Ἄκουε δή, φησὶ, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ, ὡς ἐγὼ οἶμαι, μῦθον, ἐγὼ δὲ λόγον· ὡς ἀληθῆ γὰρ ὄντα σοι λέξω, ἃ μέλλω λέγειν. Ὥςπερ γὰρ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον. ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων καὶ ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς,*

quin a **P l u t a r c h o** fuerit additum, dubitari vix potest. Conf. extr. cap. *ὦ Καλλίκλεις.*

*Γοργίου*] De **G o r g i a** Leontino vid. **C i c.** de Invent. I. 5, 7. de Orat. I. 11, 47. 22, 103. III. 32, 129. Brut. 12, 47. de Fin. II. init.

*παρὰ Πλάτωνι*] In eo sermone, quem **G o r g i a e** nomine inscripsit p. 523. A. cap. 79. § 166. (In v. *παρὰ Πλάτωνι* articulum ne desideres. Quamquam grammaticorum de articulo praecepta etiamnunc admodum sunt infirma. Vid. inprimis **B e r n h.** Synt. p. 317. not. 80.)

*φησὶ*] Apud **P l a t o n e m** est *φασὶ*, ideo interpositum, ut ait **S t a l l b a u m.** ad h. l., quia sollemne hoc fuit narrandi initium, ut quasi proverbii speciem referret. Quod Plutarchus scripsit *φησὶ*, aut ex sequioris saeculi consuetudine (de qua dix. ad c. 21. init.) pro *φασὶ* est positum, aut referendum ad Socratem.

*ἡγήσῃ*] **P l a t o**: *ἡγήσει μῦθον, ὡς ἐγὼ οἶμαι.* **B u t t m.** § 103. III. not. 3. **T h i e r s c h.** Gr. min. § 173, 18.

*μῦθον*] *Μῦθος* et *λόγος* ubi inter se opponuntur, illud de *fabula*, hoc de *vera narratione* est intelligendum. **P h a v o r.** *Αἰεὶ ὁ ποιητὴς τὸν μῦθον ἁπλῶς τὸν λόγον φησί· τὸ δὲ ἐπὶ ψευδοῦς λόγου τεθεῖναι* [scr. *τεθῆναι*] *αὐτὴν τὸ ὕστερόν ἐστι.* Quod discrimen qua aetate invaluerit, v. ap. **P a s s.** s. v. *μυθος* et *λόγος*. Cf. **S t a l l b.** ad Plat. Phaed. p. 61. B. — Contra ubi *λόγος τῇ ἀληθείᾳ* vel *τῷ ἔργῳ* opponitur, illud *verba*, *blosse Worte*, significat, veluti apud **L y c u r g.** orat. in Leocr. cap. 8. *ἵνα δὲ μὴ λόγον οἴησθε εἶναι, ἀλλ' εἰδῆτε τὴν ἀλήθειαν, κ. τ. λ.* Cf. **P a s s.** v. *λόγος*, 6. Hinc interdum *λόγος* excusationem commenticiam significat, ut ap. **L y c u r g.** l. l. 15. in.

*ὡς ἀληθῆ γὰρ ὄντα κ. τ. λ.*] Saepenumero in exponendis gravissimis philosophiae argumentis fabularum involucris usus est **P l a t o**, neque ornatus tantum gratia ita fecisse videtur, sed duplici praesertim consilio, primo ut significaret, argumentum, quod attigisset, ita esse comparatum, ut suspicionibus magis et coniecturis esset indulgendum, quam ratiociniis et disputationibus consulendum, tum, ut civium suorum superstitionem sensim tolleret aut certe emendaret, eorumque animos ad purioris sapientiae doctrinam percipiendam praepararet. Vid. **S t a l l b.** ad Phaedon. p. 178.

*Ὅμηρος*] Il. XV. 178. sq.

*ὅδε*] **P a s s.** 1.

*καὶ ἐπὶ Κρόνου*] **B u t t m.** § 145, 2. **T h i e r s c h.** Gr. min. § 188, 11. **M a t t h.** § 584. **P a s s.** *ἐπὶ* I. B. **B e r n h.** p. 247. (*Καὶ* om. ap. **P l a t.**)

*καὶ ἀεὶ καὶ νῦν ἔτι*] *nunc adhuc ut semper.* **P h a e d r.** p. 254. *ἀεί τε καὶ τότε.* **S t a l l b.** Sic nos quoque dicimus: *jezt und immerdar*, et. *weder jezt noch jemals.*

